ὥστε περιττὸν τὸ πῦρ. Τελευταῖον ἐστὶν ἅττα τινὰ τῶν μικτῶν ὑπερβαλλόντως φαίνεται ψυχρά, καὶ μηδεμίαν ἐν αὐτοῖς ἐπιδείκνυσι θερμότητα, οὐκ ἔστιν ἄρα στοιχεῖον ἁπλῶς τὸ πῦρ. διὸ δὴ καὶ Θεόφραστος ἐν τῷ περὶ πυρός, καὶ ἐν τῷ περὶ ἰδιωμάτων τῶν στοιχείων τὸ πῦρ ἐκ τοῦ ἀριθμοῦ τῶν στοιχείων διαγράφεται, καὶ ἕτεροι τῶν νεωτέρων συχνοὶ ἔξαρνοι γίνονται τῆς τούτου εὐθὺς ὑπ' οὐρανὸν ὑπάρξεως, ἀλλὰ τὸν ἀέρα τὴν ἅπασαν ἄχρι ὕδατος χώραν ἐπέχειν διϊσχυρίζονται, δυσὶ μάλιστα τούτοις ἐπερειδόμενοι, τῷ, τε μὴ καυστικὸν εἶναι, μήτε φωτεινόν.

## Ἀπάντησις.

Ἐπειδὴ φθὰς ὁ λόγος διὰ μακρῶν ἐδηλώσατο τὴν τῶν στοιχείων τετράδα, καὶ τὸ πῦρ συνηρίθμησε τῇ τε φύσει τῶν πραγμάτων ἀκολουθῶν, καὶ κοινῇ τῇ τῶν πάλαι Φιλοσόφων διδασκαλίᾳ, ὧν οἱ πλείους τὸ πῦρ τῆς τῶν στοιχείων τάξεως ἀξιοῦσιν, οὐκ ὀρθῶς οἱ νεώτεροι τὸ πῦρ ἀναιρεῖν πειρῶνται, ἀλλ' οὐδὲ τούτων οἱ λόγοι ἰσχυρῶς φαίνονται τὴν ἡμετέραν δόξαν λυμαίνεσθαι. θάτερον γὰρ τοῖν δυοῖν ἀποδεικνύουσιν ἢ τὸ ὑπὸ Σελήνην στοιχειακὸν πῦρ μὴ ὅλως ὑπάρχειν ἐν τῷ παντί, ἢ τὸ παρ' ἡμῖν μὴ καθαρὸν εἶναι στοιχεῖον, μηδὲ καθ' αὑτὸ ὑπάρχειν χωρὶς ὕλης ἀλλοτρίας, ἀλλ' ἀεὶ ὑποκειμένης δεῖσθαι οἷον ξύλων, τὰ δ' ἄλλα στοιχεῖα καίτοι νοθευόμενα, ἀλλ' ὅμως ὑφεστηκέναι φαίνεται καθ' ἑαυτά, ἥκιστα δὲ τὴν τοῦ πυρὸς ὕπαρξιν ἀναιροῦσι, τοιγαροῦν ὅπως ἂν ῥᾷστα ἔχωμεν ἀποκροῦσαι τοὺς ἀντικειμένους τῶν λόγων, διακινῆσαι χρεὼν τὸ τοῦ στοιχειακοῦ πυρὸς σημαινόμενον, τὸ γὰρ πῦρ ὅτε μὲν ἀντὶ φωτὸς εἴληπται ὡς παρὰ Πλάτωνι ἐν τιμαίῳ, ὅτε δὲ ἀντὶ θερμοῦ καὶ ξηροῦ πνεύματος, καὶ ἐμπύρευμα καλεῖσθαι φιλεῖ. Ἔτι δὲ ἀντὶ φλογὸς ἢ ἀνθρακιᾶς, ὧν οὐδέν ἐστι στοιχεῖον. Ἔτι δὲ τῷ Πλάτωνι δοκεῖ πῦρ εἶναι τὸν οὐρανὸν εἰλικρινέστατον, τὰ δὲ λοιπὰ στοιχεῖα ὅσα κατὰ τὰς ἐξοχὰς ἐν τῇ τοῦ οὐρανοῦ συνθέσει παραλαμβάνεται μεταβεβλῆσθαι λέγεται εἰς τὸ τοῦ πυρὸς εἶδος, διὸ μὴ καυστικὸν εἶναι τὸν οὐρανόν. τὸ γὰρ ἀκραιφνέστατον καὶ καθαρώτατον πῦρ ἀποβέβληκε μὲν τὸ φθοροποιὸν σώζει δὲ μόνον τὸ διαυγὲς καὶ λαμπρόν, ὥστε καὶ φῶς εἰκότως λέγεσθαι. διά τοι ταῦτα καὶ τὰ ἐν οὐρανῷ ζῶα πύρινα καλεῖ, ὡσαύτως δὲ καὶ Πλωτῖνος αἰθέρα τὸν οὐρανὸν καὶ πῦρ καλεῖ, καὶ σχεδὸν οἱ ἀμφὶ Πλάτωνα πάντες, καίτοι ἐκ τεσσάρων στοιχείων συντιθέντες τὸν οὐρανόν, ὅμως πῦρ ἀποφαίνονται μᾶλλον, ὅτι τὸ τοῦ πυρὸς εἶδος ἐμφανέστερον σώζει, τούτων οὕτως ἐχόντων τὰς τῶν ἐναντίων λόγων ἁμαρτίας ῥᾷον αὐτὶς

ὑφορῶντο, τὸ μὲν γὰρ παρ' ἡμῖν μὴ εἶναι στοιχεῖον διϊσχυρίζονται, ἀλλὰ μόνον ἔξαψίν τινα σώματος καυστοῦ, καὶ τοῦτο ἀληθές, οὐ μήν γε πάντως τῆς τοῦ πυρὸς ἀφίσταται Φύσεως, ἀλλὰ θερμόν τε ὂν καὶ ξηρὸν τὴν ἐκείνου χώραν ἐπέχει ἐν τῇ τῶν μικτῶν γενέσει, διὸ οὐδ' ἀνάγκη τὸ ὑπὸ Σελήνην πῦρ ἐνταυθοῖ κατέρχεσθαι, ἀλλ' ἀρκεῖ τὸ ἐν τῇ γῇ γινόμενον ὑπὸ τῆς κινήσεως τῶν οὐρανῶν, αὐτό τε γὰρ καὶ τὸ ὑπὸ Σελήνην ὑπὸ τῆς αὐτῆς αἰτίας παράγεται. μᾶλλον δὲ ὀφείλει τὸ παρ' ἡμῖν μεμιγμένον εἶναι, ἵνα ῥᾷον ἔχῃ πρὸς μίξιν, ὅτι δὲ ψυχρότερός ἐστιν ὁ ἐπὶ τῶν ὀρέων ἀὴρ οὐκ ἀναιρεῖ τὸ πῦρ, τῇ μὲν γὰρ ἡ τοσαύτη ἀπὸ τῆς γῆς ἀπόστασις ἐλαχίστη ἐστὶν ὥς γε πρὸς τὸ ὅλον διάστημα ἀπὸ γῆς ἄχρι Σελήνης, τῇ δὲ ὅτι ἡ τοῦ ἀέρος μέση χώρα ψυχροτέρα ἐστὶν ὡς ἀπῳκισμένη τῆς τῶν ἀκτίνων ἀντανακλάσεως ἥτις περὶ γῆν γίγνεται, πρόσθες ὅτι ἀτμῶν γέμει ἡ μέση τοῦ ἀέρος χώρα. Τελευταῖον ὅτι τὸ ὑπὸ Σελήνην στοιχειακὸν πῦρ οὔτε θερμαίνει, οὔτε καίει διὰ τὴν ἄκραν αὐτοῦ μανότητα, μὴ δυνάμενον ἀφικέσθαι εἰς τὰ τῇδε τὴν οἰκείαν θερμότητα, οἱ δὲ Κομῆται καὶ ὅσα ἐν μετεώροις ἐξάπτεται διὰ τὴν τῶν ἀναθυμιάσεων πυκνότητα καυστικὰ γίνεται, ὁμοίως δὲ τὸ διακονικὸν πῦρ διαλυτικόν ἐστι καὶ φθοροποιόν, τὸ δὲ στοιχειακὸν ὑπέκκαυμα ζωοποιόν τε καὶ γεννητικόν, ὡς αὐτὸ καλεῖ Ἀλέξανδρος ἐν τῷ περὶ σχολείων Φυσικῶν κεφ. ιζ'. τοῦ δευτέρου βιβλίου, καί τοι οὐκ ὀρθῶς ἂν λέγοιτο ὑπέκκαυμα ὡς ἅτε τῆς ἐξάψεως αἴτιον, ἢ ἐκ τῶν ἀναθυμιάσεων συνεστώς, ἀλλ' ὅτι τῇ τῶν οὐρανῶν κινήσει ἐκ τοῦ ἀέρος γίγνεται ἀραιωθέντος τε καὶ θερμανθέντος.

## Τῶν πρώτων ποιοτήτων ἐν τοῖς στοιχείοις διανομή.

ΚΑτὰ τὰς τέσσαρας τῶν πρώτων ποιοτήτων συζεύξεις ἃς ἀνωτέρω δυνατὰς εἰρήκαμεν τὰ τέσσαρα ἁπλᾶ σώματα ἀναπέφηνεν, ἃ καλεῖται στοιχεῖα, ὧν ἑκάστῳ ἑκάστη τῶν συζυγιῶν ἀπονενέμηται, καὶ ταῦτα τῶν ποιοτήτων οὐ κατ' ἄκρον ἑκατέρας προσηκούσης, ἀλλὰ τῆς μὲν ἐν ὑπεροχῇ, τῆς δὲ ἀνειμένως, καὶ γὰρ τὸ πῦρ τὴν μὲν θερμότητα ἐσχάτην ἔσχηκεν, ὑφειμένην δὲ τὴν ξηρότητα, ὁ δὲ ἀὴρ ἄκρως μὲν ὑγρός, θερμὸς δὲ ἧττον ἐστί, τὸ δὲ ὕδωρ τῆς μὲν ψυχρότητος τὸν ἔσχατον ἔσχηκε βαθμόν, τῆς δὲ ὑγρότητος οὐ τὸν αὐτόν, ἀλλ' ἠλαττωμένον πολλῷ τῆς τοῦ ἀέρος ὑγρότητος. Τελευταῖον ἡ γῆ τὴν μὲν ξηρότητα ἄκραν ἐπιδείκνυσι, τὴν δὲ ψυχρότητα ἔσχηκεν ἐν ὑφέσει, καὶ ταύτῃ μὲν αἱ πρῶται ποιότητες διανέμονται παρὰ Φιλοσόφοις, ἀλλ' ὅμως πρῶτον μὲν ἀπορεῖται, τίς ἄρα ἀνάγκη ἑκάστῳ τῶν στοιχείων δύω προσαποδίδοσθαι

ποιο-

ΙΩΑΝΝΙΝΑ 2006

ποιότητας, ἴσως ἄρα ἀποχρώντως ἔχει εἰς σύστασιν ἁπλοῦ σώματος ἑκάστη τῶν ποιοτήτων. πολλοί τινες ὅμως λόγοι τὴν τοιαύτην διανομὴν ἀναπείθουσι. Πρῶτον μὲν γὰρ ἐπειδὴ τέτταρές εἰσιν αἱ δυναταὶ συζυγίαι, αὗται δὲ ἐν ὑποκειμένοις εἰσὶν εὐλόγως τέτταρα τὰ πρῶτα σώματα ἀριθμεῖται ἐν οἷς αἱ τοιαῦται συζεύξεις ὑπάρχουσι. Δεύτερον ὅτι ὕλη κοινὸν οὖσα τῶν εἰδῶν ἁπάντων ὑποκείμενον αὐτῶν τε τῶν συζεύξεων δεκτικὴ φαίνεται πρῶτα, καὶ μάλιστα, καὶ διὰ τούτων εἰς τὴν τῶν μικτῶν κρᾶσιν καὶ σύνθεσιν παραλαμβάνεται. Τρίτον ἐπειδὴ τὰ στοιχεῖα κατὰ τάξιν ἐν τῷ παντί καθιδρύμενα τὸ μὲν συνέχει, τὰ δὲ συνέχεται τῶν ἄκρων, τὰ δὲ μεταξὺ συνέχει μὲν τὰ ὑπ' αὐτὸ, συνέχεται δὲ ὑπὸ τοῦ περιέχοντος. ἵνα μὴ ἀλλήλοις διαπλέκηται τἀναντία πάντως, καὶ μάχηται τὴν ἀένναον μάχην, εὐλόγως ἡ φύσις κοινωνεῖν ἀλλήλοις, καὶ παραπλησίως ἔχειν κατὰ θατέραν ποιότητα τὰ ἐγγὺς προνενοήκε. κοινωνεῖ μὲν οὖν πῦρ καὶ ἀὴρ θερμότητος, ἀὴρ δὲ καὶ ὕδωρ ὑγρότητος, ὕδωρ δὲ καὶ γῆ ψυχρότητος. Τέταρτον ἐπειδὴ τὰ μικτὰ τῶν στοιχείων εἰς ἄλληλα δρώντων καὶ πασχόντων συντίθεται, εἰκότως ἐν ἑκάστῳ στοιχείῳ ἡ μὲν ἑτέρα τῶν ποιοτήτων δραστικὴ ἐστιν. Ἡ δὲ θατέρα παθητικὴ, ἵνα τῇ μὲν κρατῇ, καὶ ποιῇ, τῇ δὲ πάσχῃ. Πέμπτον ἐπειδὴ οὐ μόνον αἱ πρῶται ποιότητες τοῖς στοιχείοις προσήκουσιν, ἀλλὰ καὶ δεύτεραι οἷον κουφότης καὶ βαρύτης, μανότης πυκνότης τό, τε διαφανὲς, καὶ μὴ τοιοῦτον, ἀνάγκη ἑκάστῳ τῶν στοιχείων μίαν ἐνυπάρχειν τῶν συζεύξεων, ἡ μὲν γὰρ κουφότης καὶ μανότης τῷ θερμῷ καὶ ξηρῷ, ἡ δὲ βαρύτης καὶ πυκνότης τῷ ξηρῷ καὶ ψυχρῷ παρομαρτεῖ. Δεύτερον ἀπορεῖται τίνος ἕνεκεν ἡ μὲν ἑτέρα ἐν ὑπεροχῇ, ἡ δὲ ἑτέρα τῶν ποιοτήτων ἐν ὑφέσει προσήκει τοῖς στοιχείοις; ἢ ὅτι ἡ τοῦ παντὸς τάξις ἀπαιτεῖ ἐν ἑκάστῳ σώματι τὸ πρῶτον ἀεὶ ἓν εἶναι ὃ συστατικὸν ἐκείνου, καὶ εἰδοποιόν ἐστι, καὶ οἷον κρηπὶς καὶ ἀρχὴ τῶν ὑπαρχόντων ἐν αὐτῷ. τῷ μὲν οὖν πυρὶ τὸ θερμὸν πρώτως προσήκει, ἡ πρώτη καὶ ὑπερέχουσα τῶν ποιοτήτων τῷ ὑπερέχοντι τῶν σωμάτων ἐνοῦσα. Ἔτι δὲ μάλιστα θερμοῦ ποιητικὰ ἡ τοῦ αἰθερίου σώματος κίνησις καὶ τὸ φῶς. διὸ δὴ καὶ τὸ ὑπ' οὐρανὸν σῶμα θερμόν ἐστι. πρόσθες ὅτι τὸ θερμὸν μάχιμόν τε ἐστι, καὶ συνεκτικὸν, καὶ τὸν ἀνωτάτω τόπον ἐπέχει λεπτομερὲς ὂν καὶ κοῦφον, οἷς ἅπασι χαίρει τὸ πῦρ. διὸ θερμὸν εὐλόγως εἴρηται. ἧττον δὲ θερμόν ἐστιν ὁ ἀὴρ μετὰ τὸ πῦρ ὑπάρχων, ὑγρὸν δὲ μάλιστα τῶν σωμάτων ἁπάντων, ἵν' ἔχῃ τὴν τοῦ πυρὸς ἀμαυρῶν θερμότητα σώζειν τὸ οἰκεῖον εἶδος. μετὰ δὲ τὸν ἀέρα τὸ ὕδωρ ὑπάρχον ψυχρόν ἐστι καὶ ὑγρὸν, τῇ μὲν ψυχρότητι παραπλησίως ἔχον τῇ γῇ, τῇ δὲ ὑγρότητι τῷ ἀέρι. Τελευταῖον ἡ γῆ τὸν κατωτάτω τόπον ἐπέχουσα ὑπὸ ψυχρό-

τητος καὶ ξηρότητος βαρυτάτη καὶ πυκνοτάτη ἐστὶ, διὰ ταῦτα τοίνυν αὗται ποιότητες τὸν τρόπον τοῦτον διανενέμηνται, καὶ ἑκάστῳ τῶν σωμάτων ἑκάστη τῶν συζυγιῶν, καὶ ἡ μὲν ἑτέρα καθ᾽ ὑπερβολὴν, ἡ δ᾽ ἑτέρα καθ᾽ ὕφεσιν.

## Πότερον ὁ Ἀὴρ θερμός ἐστι καὶ ὑγρός;

ΕΝ τῇ τῶν πρώτων ποιοτήτων διανομῇ ἐλέγετο θερμὸς καὶ ὑγρὸς ὁ ἀὴρ, ὃ καὶ Ἀριστοτέλης ἐν τῷ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς ἀποδείκνυσιν οἷον ἀτμίδα τὸν ἀέρα λέγων, ἡ δὲ ἀτμὶς ὑγρά τε καὶ θερμή, τοῦτο αὐτὸ δὲ καὶ ὁ τῆς Φύσεως λόγος πείθει, θερμὸν γὰρ εἶναι δεῖ, ὅτι θερμότητι γίγνεται, ὑπὸ δὲ ψυχρότητος πυκνωθεὶς εἰς ὕδωρ μεταβάλλει, ἕκαστον δὲ τῶν ὄντων οἷον γίγνεται, τοιοῦτον ἀνάγκη σώζεσθαι. Ἔτι δὲ τὴν ἄνω φέρεται κίνησιν παραπλησίως τῷ πυρὶ, ὥστε καὶ κατὰ ποιότητα ἕξει ὁμοίως αὐτῷ, καθάπερ καὶ φιλόπονος διδάσκει, ἐπειδὴ δὲ θερμόν ἐστι τὸ πῦρ καὶ ξηρὸν οὐκ αὐτῷ συμβέβληται κατὰ ξηρότητα ὁ ἀὴρ, ἀλλὰ κατὰ θερμότητα. τῆς γὰρ κουφότητος οὐχ ἡ ξηρότης, ἀλλ᾽ ἡ θερμότης παρεκτική, καὶ γὰρ ἡ γῆ ἄκρως οὖσα ξηρὰ πυκνοτάτη ἐστὶ καὶ βαρυτάτη. Ἔτι δὲ μανός ἐστιν ὁ ἀὴρ καὶ διὰ μανώσεως γίγνεται, ἡ δὲ μάνωσις θερμότητι ἀποτελεῖται, ὡς ὁ Φιλόπονος παρεγγυᾶται ἐν τῷ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς μορίῳ ιζ΄. καθάπερ καὶ τὸ πυκνὸν ὑπὸ ψυχρότητος γίγνεται. πρὸς δὲ ταῦτα ἡ ἐν τῷ παντὶ χώρα τοῦ ἀέρος τὴν τούτου φύσιν ἡμῖν ἀποφαίνει, ἐπειδὴ γὰρ ἐγγυτέρω ἐστὶν ὕδατος καὶ γῆς τῷ αἰθερείῳ σώματι θερμός ἐστι, τὰ γὰρ ἀφεστῶτα τῶν οὐρανῶν στοιχεῖα ψυχρά ἐστιν. αἴτιον δὲ τούτου, ὅτι τῆς ἐν τῷ φθαρτῷ σώματι θερμότητος αἴτιον μᾶλλον τοῦ φωτὸς ἡ τῶν αἰθερείων σωμάτων κίνησις μανοῦσα τὸ ὑποκείμενον αὐτῇ ἐφεξῆς σῶμα, ἡ δὲ μάνωσις συνεφέλκεται τὸ θερμόν. Ἔτι δὲ εὐλόγως περιεχόμενος τῷ πυρὶ ὁ ἀὴρ ἔοικεν αὐτῷ κατὰ θερμότητα, ὁ γὰρ τόπος ἀεὶ ὁ κατὰ φύσιν παρεμφερής ἐστι τῷ ἐντοπιζομένῳ πράγματι. πρόσθες ὅτι εἴπερ ὑγρὸς καὶ ψυχρὸς ὁ ἀὴρ ἦν, οὐδὲν ἂν διήνεγκεν ὕδατος, ὥστ᾽ ἄμφω ἓν εἴη στοιχεῖον ταῖς αὐταῖς ποιότησι συνιστάμενα, τὸ γὰρ ὕδωρ ψυχρὸν καὶ ὑγρὸν ὁμολογεῖται πᾶσι, τοῦτο δὲ πάντως ἄτοπον. Πρῶτον μὲν γὰρ οὐκ ἂν ὑπῆρχε τὸ μέσον. Δεύτερον ἀμέσως τῷ πυρὶ τὸ ἐναντίον ὑπετάττετο τῷ θερμῷ δηλονότι καὶ ξηρῷ τὸ ψυχρὸν καὶ ὑγρόν. Τρίτον ἄδηλον δι᾽ ἣν αἰτίαν ὁ μὲν ἀὴρ ἐπιπολάζει, τὸ δὲ ὕδωρ ὑπόκειται. Τέταρτον περιττὸν ἦν δυοῖν θάτερον. Πέμπτον τῆς δυνατῆς ταύτης συζυγίας τοῦ θερμοῦ καὶ ὑγροῦ ἐστερεῖτο τὸ πᾶν, ὅτι δὲ ἐν τῷ παντὶ ἡ τοιαύτη συζυγία

ὑπάρ-

ΙΩΑΝΝΙΝΑ 2006

ὑπάρχει καὶ τῶν μικτῶν αἱ κράσεις ἐμφαίνουσιν. Ἐπειδὴ δὲ πάσης κράσεως ἐπικρατοῦν ἐστί τι τῶν στοιχείων ἐξ ἀνάγκης ἐν τοῖς στοιχείοις ἔσται τὸ θερμὸν καὶ ὑγρὸν σῶμα. μάλιστα δὲ ἐπειδὴ τό, τε ἔαρ, καὶ ἡ μειρακιώδης ἡλικία, καὶ τὸ αἷμα θερμά εἰσι, καὶ ὑγρά. τούτοις ἀναλογεῖν εἰκός ἐστι τὸν ἀέρα θερμὸν ὄντα καὶ ὑγρόν. διὰ ταῦτα ὁρῶμεν χειμῶνος ὑπὸ τῆς ψυχρότητος τῶν πνευμάτων καὶ ἀτμῶν ταράττεσθαι τὸν ἀέρα καὶ συνθολοῦσθαι, θέρους δὲ ἠρεμεῖν τε καὶ αἰθριᾶν, αἴτιον δὲ τούτου ὅτι θερμὸς ὢν ὑπὸ τοῦ ἐναντίου ἀλλοιοῦται. Τὸ αὐτὸ δὲ τοῦτο καὶ Ἀλέξανδρος δείκνυσι, μάλιστα δὲ ὅτι τὰ σύμβολα, καὶ θᾶττον εἰς ἄλληλα μεταβάλλοντα τῶν στοιχείων καθ' ἑτέραν κοινωνεῖ ποιότητα, ὁ δὲ ἀὴρ ταχύτερον τῶν ἄλλων εἰς τὸ πῦρ μεταβάλλει, ἄρα κοινωνεῖ κατά τινα τῶν ἐν αὐτοῖς ποιοτήτων. κατὰ μὲν οὖν τὴν ὑγρότητα οὐδεὶς ἂν πώποτε ὁμοίως διακεῖσθαι τὸν ἀέρα καὶ τὸ πῦρ εἴποι, συμβέβληται ἄρα κατὰ θερμότητα. διὰ ταῦτα τοίνυν Πυθαγόρας τε καὶ Πλάτων καὶ Ἀριστοτέλης συμφώνως τὸν ἀέρα θερμὸν καὶ ὑγρὸν ἀποφαίνονται. Τούτοις ὅμως οὐδαμῶς ἀναπεισθέντες οἱ ἐν τῇ στοᾷ ψυχρὸν οἴονται τὸν ἀέρα, οἷς συνᾴδει καὶ Ἐμπεδοκλῆς, ὡς ἐκ τοῦ Φιλοπόνου μανθάνομεν. μορίῳ γὰρ ιθ'. τοῦ δευτέρου περὶ γενέσεως καὶ φθορᾶς τὸν Ἐμπεδοκλέα εἰς τὰ δύο συνάγειν φησὶ τὰ στοιχεῖα, καὶ τῷ πυρὶ τἄλλα πάντα ἀντιτίθεσθαι. ἐπειδὴ οὖν τὸ πῦρ θερμόν ἐστι λείπεται ψυχρὸν εἶναι τὸν ἀέρα, τῶν δὲ νεωτέρων ἔνιοι φύσει μὲν ψυχρὸν φασὶν εἶναι τὸν ἀέρα, θερμαίνεσθαι δὲ ὑπὸ τῆς κινήσεως τῶν αἰθερίων σωμάτων. οἱ δὲ τούτων λόγοι τοιοῦτοί τινες φαίνονται. Πρῶτον μὲν γὰρ ἐν τοῖς ὑπερβορείοις μέρεσιν ὑπὸ τῆς ψυχρότητος τοῦ ἀέρος ἀέναος γίνεται χιών, καὶ διηνεκὴς παγετός, δῆλον οὖν δοκεῖ τὸν ἀέρα τῶν ἡλιακῶν ἀκτίνων ἐστερημένον ψυχρὸν μένειν κατὰ φύσιν. Ἔτι δὲ εἰ θερμὸς ἦν ὁ ἀὴρ τοιοῦτον ἔδει μάλιστα αὐτὸν τυγχάνειν κατὰ μέσην αὐτοῦ χώραν. νῦν δὲ ταύτῃ ψυχρότατος ἐστίν. Ἔτι δὲ εἰ θερμὸς ἦν ὁ ἀήρ, πῶς οὐ φθείρεται ὑπὸ τῆς ψυχρότητος ἐν χειμῶνι; πρόσθες ὅτι ἡλίου δύνοντος εὐθὺς ὁ ἀὴρ ψυχρότερος γίνεται. ὥστε οὐ κατὰ φύσιν θερμὸς ὁ ἀήρ, ἀλλὰ τῇ τοῦ ἡλίου παρουσίᾳ. Τελευταῖον ὁ Φιλόσοφος πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς μορίῳ κδ'., ὕδωρ καὶ ἀέρα ἄμφω φησὶ διαφανῆ ἢ ψυχρά, ὥστε θερμὸν εἴρηκεν ἀλλαχοῦ κατὰ συμβεβηκός.

## Ἀπαίτησις πρὸς τοὺς τῶν ἀντικειμένων λόγους.

ΟΠως αὖ ἡ τοῦ ἀέρος φύσις δήλη γένηται τοὺς ἀντιφερομένους τῶν λόγων ἐπιλῦσαι πειρατέον. Πρῶτον μὲν οὖν ἐπιστάσεως ἄξιον, ὅτι



Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τὰ ὑπὸ Σελήνην ἁπλᾶ σώματα οὐκ εἰσὶν εἰλικρινῆ καὶ καθαρά, ἀλλὰ μεμιγμένα καὶ συγκεχυμένα ἀλλήλοις. πάντων δὲ μάλιστα ὁ ἀὴρ τὴν μεταξὺ χώραν ἐπέχων (καὶ γὰρ ἡ γῆ καὶ τὸ ὕδωρ εἰς ἓν σφαιροειδὲς σῶμα συνάγεται) τοῖς λοιποῖς συμπεθόλωται. Ἔτι δὲ λεπτομερὴς ὢν ῥᾷον ἀλλοιοῦται, καὶ τὰς ἀπὸ γῆς καὶ ὕδατος καὶ ἀναθυμιάσεις δέχεται. διὸ δὴ καὶ ὁ Φιλόσοφος πρώτῳ περὶ μετεωρολογικῶν τὸν πλησίον ἡμῶν ἀέρα οἷον ἀτμίδα προσαγορεύει, καὶ οἷον ὕδωρ διακεκριμένον, ἐν ᾧ ὑετοί τε καὶ χιὼν καὶ χάλαζαι καὶ ὁμίχλαι γίνονται, εἰ καὶ ὁ κοινὸς λόγος διαμαρτύρεται τὰ τοιαῦτα τῶν μετεωρολογικῶν ἐν τῷ μέσῳ χώρῳ τελεῖσθαι, ἀλλ' ὅμως οὐκ εἰς ἴσα μέρη διαιρεῖ τὸν ἀέρα, ἀλλὰ τὸν μὲν κατωτάτω χῶρον οὐκ ἐπὶ πολὺ διεκτείνει, τὸν δὲ μεταξὺ ἐπὶ πλεῖστον, ὥστε ἐν τούτῳ γίνεσθαι τὰ πλείω τῶν μετεώρων. ἐπειδὴ οὖν ὁ ἀὴρ τῶν ἀπὸ γῆς ἀναθυμιάσεων γέμει ψυχρός ἐστι κατὰ συμβεβηκός, καίτοι μὴ ἐς τοσοῦτον ἔψυκται, ὥστε τὴν οἰκείαν ἀποβεβληκέναι θερμότητα. ὑπὸ δὲ τῶν ἡλιακῶν ἀκτίνων διαλυθεισῶν καὶ σκεδασθεισῶν τῶν ἀναθυμιάσεων τὴν ἰδίαν αὐτοῦ δύναμιν ἐπιδείκνυσι. Δεύτερον σημειωτέον μάλιστα μὲν ὑπὸ τῆς τῶν οὐρανῶν κινήσεως καὶ τοῦ φωτὸς ἐν τοῖς ὑπὸ Σελήνην γεννᾶσθαι τὴν θερμότητα, ὥσπερ ἡ ψυχρότης, ἡ πυκνότης, ἡ βαρύτης ἐναπῳκισμένοις ἐνυπάρχουσι σώμασιν. οὕτως ἡ θερμότης, κουφότης καὶ μανότης ἐν τοῖς πλησίον τοῦ αἰθέρος τυγχάνουσι διὰ τὸ θερμότητος εἶναι παρακτικὰ πρώτως τὰ αἰθέρια σώματα, διὸ δὴ καὶ σωστικὰ τῆς τοιαύτης ὑπάρχει ποιότητος. ὅθεν τῇ μὲν ἀπουσίᾳ τοῦ Ἡλίου ψύχεται ὁ ἀήρ, τῇ δὲ παρουσίᾳ θάλπεται. καὶ ἀνακαλεῖται τὴν οἰκείαν ποιότητα, ταῦτα δὲ οὕτως ἔχειν καὶ ὁ λόγος διδάσκει, παρόντος γὰρ τοῦ ποιητικοῦ τὸ πάσχον μεταλαμβάνει τελειότητος, ἀπόντος δὲ εἰς ἀτέλειαν ἀπομεταπίπτει. ὅτι δὲ ὑπὸ Σελήνην πάσχοντος ἔχει λόγον πρὸς τὰ οὐράνια σώματα οὐδεὶς ἀμφισβητήσει. Ἔτι δὲ κἀκεῖνο διὰ μνήμης ἄγειν εἰκός ἐστιν, ὅτι κατὰ συμβεβηκὸς ὑπὸ βορρᾶ ψυχόμενος ὁ ἀὴρ αἰθέριός τις καὶ καθαρὸς φαίνεται, συμβαίνει γὰρ πνέοντος τούτου τοῦ ἀνέμου σκεδάννυσθαι τὰς ἐν ἀέρι ἀτμοὺς, καὶ ἀναθυμιάσεις, νότου δὲ πνέοντος ὁ ἀὴρ θολοῦται γέμων τῶν ἀπὸ γῆς ἀτμίδων. Τούτων οὖν οὕτως ὑποτεθέντων ῥᾷον ἐπιλύσειεν ἄν τις τὰς τῶν νεωτέρων ἀπορίας. Πρῶτον μὲν οὖν ἐλέγετο ἐν τοῖς ὑπερβορείοις μέρεσι τὸν ἀέρα ψυχρὸν ὑπάρχειν μένοντα κατὰ φύσιν, καὶ οὐκ ἀλλοιούμενον ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων. πρὸς ἃ ῥητέον ὅτι ψυχρός ἐστιν ὁ ἀὴρ τῇ μὲν ὑπὸ τοῦ ὕδατος καὶ τῆς γῆς ψυχόμενος ἐς ὑπερβολήν, τῇ δὲ τῶν ἀνερχομένων ἀναθυμιάσεων μὴ διαλυομένων ὑπὸ τοῦ ἡλίου διὰ τὸ ἄποθεν ἀφικνεῖσθαι τὰς ἀκτῖνας, καὶ μὴ κατ' εὐθεῖαν. Ἔτι δὲ ἐλέγετο τὸν ἀέρα ψυχρὸν εἶναι ἐν τῷ μέ-



ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΒΙΒΛΙΟΘΗΚΗ ... Ε.Υ. ΑΠΚ Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σῳ χώρῳ· πρὸς ὃ ἐκ τῶν ἀνωτέρω λεχθέντων ἡ ἀπάντησις πρόδηλος, οὐ γὰρ ψυχρός ἐστι καθ᾽ ἑαυτό, ἀλλὰ κατὰ συμβεβηκός, οὐδ᾽ ὁ μεταξὺ πάντως, ἀλλ᾽ ὁ πλησίον ἡμῶν. Ἔτι δὲ ἀντεφέρετο σώζεσθαι τὸν ἀέρα χειμῶνος ψυχρὸν ὄντα ὅπερ οὐ πάμπαν ἀληθές, μεταβάλλει γὰρ μᾶλλον εἰς τὴν τοῦ ὕδατος φύσιν, διὸ καὶ ὑετοὶ συχνοὶ γίνονται κατὰ ταυτηνὶ τὴν ὥραν. Τῷ δὲ τρόπῳ ὁ βορρᾶς καθαρὸν ἀποτελεῖ τὸν ἀέρα λέλεκται ἀνωτέρω. Τελευταῖον ἀπορήσειεν αὖτις τίνος ἕνεκεν ὁ ἀὴρ κινούμενος ψυχρότερος γίνεται εἰ κατὰ φύσιν θερμὸς ὑπάρχει. ἢ ὅτι κινούμενος ὁ ἀὴρ ὑπὸ τῶν ἀνέμων συνεφέλκεται τὰς ἀναθυμιάσεις. ἢ ὅτι συμπιλεῖται ὁ ἀήρ. ἢ ὅτι τοῦ ἀπτομένου ἡμῶν ἀέρος μετέχοντος τῆς ἡμετέρας ποιότητος, διὰ τὸν ἐγγυσμὸν ἡ τούτου μεταβολὴ διὰ τῆς κινήσεως αἴσθησιν ἐμποιεῖ ψυχρότητος.

# ΚΕΦΑ'ΛΑΙΟΝ, ΤΕ'ΤΑΡΤΟΝ.

## Πότερον τὸ μὲν Ὕδωρ ἄκρως ψυχρόν, ὁ δὲ Ἀὴρ ἄκρως ὑγρόν;

Εἰκότως ἔνιοι διαποροῦσι περὶ τὸν ἀέρα καὶ τὸ ὕδωρ πότερον ἄρα ψυχρὸν ἢ ὑγρόν. Πρῶτον μὲν γὰρ δοκεῖ τὸ ὕδωρ καὶ γὰρ ὑγραίνει μᾶλλον ἡμᾶς καὶ πλείονος μεταλαμβανόμεν ἰκμάδος τῆς ἀπὸ τοῦ ὕδατος, ὁ δὲ ἀὴρ ξηραντικός τε φαίνεται, ἐπειδὰν καθαρὸς γένηται, καὶ τῆς ὑγρότητος ἄμοιρος. ἀλλ᾽ οὐδ᾽ ὁ Φιλόσοφος αὐτὸς ἑαυτῷ συνᾴδειν ἔοικε, πρώτῳ γὰρ μετεωρολογικῶν μορίῳ ιζ΄., γῇ μὲν προσαπονέμει τὸ ξηρόν, ὕδατι δὲ τὸ ὑγρόν. μάλιστα δὲ τὸ ψυχρὸν οὐ τῷ ὕδατι, ἀλλὰ τῇ γῇ προσήκει, ἐπειδὴ γὰρ ὁ Φιλόσοφος πρώτῳ περὶ οὐρανοῦ ἐκ τῶν ἐναντίων κινήσεων τὴν τῶν ποιοτήτων θηρᾶται ἐναντιότητα, ὥστε πάσης ἐναντιώσεως ἀπηλλαγμένον φάναι καὶ ἄμοιρον τὸ αἰθέριον σῶμα διὰ τὸ μὴ τὰς ἐναντίας φέρεσθαι κινήσεις. Τὸ δὲ φθαρτὸν τοῦτο σῶμα ἐναντιώσει τιθέναι διὰ τὸ ἐσχηκέναι ἐν ταῖς κινήσεσιν ἐναντιότητα φανερὸν ὅτι δεῖ ψυχρὸν ἀπονεῖμαι τῇ γῇ, πῦρ δὲ καὶ γῆ τὰς ἀντικειμένας πάντως κινοῦνται φοράς, ὥστε καὶ κατὰ τὰς ποιότητας ἀλλήλαις ἀντίκεινται, καὶ τὸ μέν ἐστι θερμόν, τὸ δὲ ψυχρόν. Ἔτι δὲ κατὰ τόπον ἀντιτίθεται ἡ γῆ τῷ πυρί, καὶ τὸ μέν ἐστι κουφότατον καὶ μανώτατον, τὸ δὲ πυκνότατον καὶ βαρύτατον, ὥστε ἐπειδὴ τὸ πῦρ μανόν ἐστι καὶ κοῦφον ὑπὸ θερ-

μότη-

ΙΩΑΝΝΙΝΑ 2006

μότητος ἔσαι ἡ γῆ βαρεῖα καὶ πυκνὴ ἀπὸ τῆς ἄκρας ψυχρότητος. τῶν γὰρ ἐναντίων ὡς ἔοικε τἀναντία ἐστὶ ποιητικά. Ἔτι δὲ φανερὸν φαίνεται ὅτι ἐν τῷ ὕδατι κρατεῖ τὸ ὑγρὸν δυσαπόβλητον γάρ ἐστι καὶ δυσέκνιπτον, τὸ δὲ ψυχρὸν ῥᾷον ἐξίτηλον καὶ εὐαπόβλητον. Ὕδωρ γὰρ πυρὶ παρατεθὲν τὸ μὲν ψυχρὸν ῥᾷον ἀποδύεται, τὸ ὑγρὸν ὅμως ἐπέχει καὶ σώζει. Τούτων οὕτως ἠπορημένων εἰς ἐπίλυσιν ἀναγκαῖον ἐστὶν εἰδέναι, ὅτι ἐν τοῖς στοιχείοις θατέραν μὲν τῶν ποιοτήτων ἐν ὑφέσει τι θέμεθα, θατέραν δὲ ἐν ὑπεροχῇ, καὶ ἀκρότητι. οὐχ ὅτι ἡ μὲν ἀμιγής ἐστι καὶ καθαρά, ἡ δὲ μεμιγμένη καὶ κεκολασμένη, καὶ γὰρ ἐν τοῖς στοιχείοις ἀμφότεραι αἱ ποιότητες εἰλικρινεῖς εἰσι καὶ ἀμιγεῖς, ἀλλ᾽ ὅτι ἡ μὲν ἑτέρα πρώτως προσήκει, ἡ δὲ δεύτερον τινὰ τρόπον, ἀλλ᾽ οὐ κατ᾽ ἄκρον. Τοῦτο δὲ μάλιστα δεδιδάγμεθα ὅτι τὸ πῦρ κοινῇ μὲν θερμὸν ἄκρως ὑποτίθεται, ὅθεν ἐν ἀέρι οὐ τὸ θερμόν, ἀλλὰ τὸ ὑγρὸν πρώτως τίθεται, τὸ δὲ ψυχρὸν ἐν ὕδατι, γῇ δὲ τὸ ξηρόν. εἰ γὰρ τὸ θερμὸν ἐν ἀέρι κρατεῖ τίνος ἕνεκεν οὐχ ὁμοιοῦται κατὰ μικρὸν ἐν πᾶσι τῷ πυρί; καθάπερ ἀέρι τὸ ὕδωρ τὴν αὐτὴν ἔχοντα πρώτως φύσιν καὶ ἰδιότητα. εἰ γὰρ τὸ εἶδος τὸ αὐτό, καὶ τὰ παρεπόμενα τὰ αὐτὰ ὅλως ἐστίν. εἰ οὖν θερμὸν τὸ πῦρ καὶ τὸ ὕδωρ καὶ τἄλλα παραπλησίως ἕξει. Κἀκεῖνο δὲ ἐπιστάσεως ἄξιον ὅτι ἥτε ἐν ἀέρι καὶ πυρί, καὶ ἐν ἀέρι καὶ ὕδατι ποιότης ταυτὶ οὖσα διήνεγκε τῇ συναφείᾳ τῆς ἑτέρας ποιότητος, διὸ δὴ τὸ ἐν ἀέρι ὑγρὸν μάλιστα ἐστὶ τὸ εὐόριστον ὅρῳ ἀλλοτρίῳ. Ἔτι δὲ κατὰ βάθος ὑγραντικόν, τὸ δ᾽ ἐν ὕδατι ὑγρὸν παχύτερον ὑπάρχον διὰ τὴν τῆς ψυχρότητος συνάφειαν συνεκτικὸν γίνεται ἐν τοῖς μικτοῖς, ὅθεν ὁ Φιλόσοφος ἐν τῷ περὶ αἰσθήσεως καὶ αἰσθητοῦ διαφέρειν φησὶ τοῦ ἀέρος τὸ ὕδωρ, ὅτι τὸ μὲν ὑδατῶδες ὑγρὸν ἐπὶ πολὺ μένει καὶ σώζει τὴν οἰκείαν φύσιν, καὶ ῥᾷον κατέχεται, τὸ δὲ ἀερῶδες λεπτομερές τε ἐστί, καὶ μᾶλλον ῥευστόν, ὁμοίως δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς μορίῳ μθ᾽. συμμένειν φησὶ τὴν γῆν ἐν τοῖς μικτοῖς διὰ τὸ ὑγρόν, τοῦτο γὰρ εἶναι τὸ συνέχον, εἰ γὰρ ἐξαιρεθείη τελέως ἐξ αὐτῆς τὸ ὑγρὸν διαπίπτοι ἄν, ὅθεν εὐλόγως ὁ Ὀλυμπιόδωρος τὸ συνεκτικὸν ἐν τοῖς μικτοῖς ὑγρὸν πρώτως ἀπονέμει τῷ ὕδατι, τὸ δὲ εὐόριστον ὅρῳ ἀλλοτρίῳ τῷ ἀέρι. ἐξ ὧν ῥαδίως ἀπαντήσειεν αὖτις πρὸς τοὺς ἀντιθέτους λόγους, τὸ μὲν γὰρ ὕδωρ παχυτέραν ἔχει τὴν ὑγρότητα, ὁ δὲ ἀὴρ λεπτομερεστέραν, διὸ τὸ ὕδωρ ἐπὶ πλέον ὑγρὸν μένει, καὶ ὑγραντικώτερον φαίνεται. ἡ γὰρ αὐτὴ ποιότης πιληθεῖσα γίνεται δραστικωτέρα. περὶ δὲ τοῦ ψυχροῦ πότερον ἐν ὕδατι πρώτως, ἢ ἐν τῇ γῇ ὑπάρχει, εἰ μὲν καθ᾽ αὑτὸ ἐξετάζοιτο φανερὸν ὅτι κρατεῖ τὸ ἐν ὕδατι, εἰ δὲ μετὰ τῶν παρεπομένων ποιοτήτων τὸ ἐν τῇ γῇ ψυχρὸν μᾶλλον ἀντίκειται τῷ τοῦ



Ε.Υ.Δ της Κ.Τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πυρὸς θερμοῦ, ξηρὸν γὰρ ἅμα καὶ πυκνὸν καὶ βαρὺ, ὅθεν ὀρθῶς ὁ Φιλόσοφος τῆς κινήσεως οὔσης ἀρχηγόνου τῆς Φύσεως κινήματος ἀπὸ τῆς κατ' αὐτὴν ἐναντιώσεως τὴν τῶν Φύσεων ἐναντίωσιν ἀνιχνεύει. ὅθεν ἐπειδὴ τὸ πῦρ καὶ ἡ γῆ τὰς ἐναντίας φέρεται κινήσεις ἀληθῶς συνῆκται τὸ μὲν θερμὸν εἶναι, καὶ κοῦφον, καὶ μανὸν, καὶ λεπτὸν, καὶ διαφανὲς, καὶ εὐκίνητον, ἡ δὲ γῆ τὴν ἐναντίαν πάντως φύσιν ἐσχηκέναι, σῶμα ψυχρὸν ὑπάρχουσα, καὶ πυκνὸν, καὶ βαρὺ, καὶ ἠρεμητικὸν, καὶ ἀδιάφανες. Ἔτι δὲ φαίνεται ἡ γῆ πρώτως ψυχρὰ πυκνοτάτη οὖσα, καὶ μᾶλλον ἀπῳκισμένη τῶν οὐρανῶν, ἡ τῆς πυκνότητος αἰτία οὐ τὸ ψυχρὸν αὐτὸ καθ' ἑαυτὸ, ἀλλὰ ξηρότητι συνημμένον, ἡ δὲ τῶν οὐρανῶν ἀπόστασις τὰς ἐναντίας μάλιστα τοῦ πυρὸς ποιότητας ἐν τῇ γῇ παρήγαγεν, οὐ μὴν ἀνάγκη τὰς ἐσχάτας προαγαγεῖν, εἰ καὶ τὴν αὐτὴν γεγέννηκεν. οἷον τὸ ξηρὸν οὗ κεκοινώνηκε γῆ καὶ πῦρ διὰ τὸ τὴν γῆν τὴν τοιαύτην ἀπαιτεῖν ποιότητα, ὥστε οὐ δεῖ καθ' ἑαυτὰς ἀνακρίνειν τὰς ποιότητας ἐν τοῖς στοιχείοις, ἀλλὰ τῷ τε ὑποκειμένῳ θεωρεῖν, καὶ ἀντεξετάζειν ταῖς συνακολούθοις ποιότησιν, ἵν' ἡ τῆς Φύσεως εὐστοχία δήλη γένηται. καὶ ἡ ἐν τῷ παντὶ εὐρυθμία καὶ τάξις. Τελευταῖον ἠπορεῖτο τίνος ἕνεκεν ῥᾷον ἀποβάλλει τὴν ψυχρότητα τὸ ὕδωρ, εἰ ταύτην ὑπερβάλλουσαν ἔχει, πρὸς ὃ καὶ Ἀλέξανδρος ἀπαντῆσαι πειρᾶται πρώτῳ Φυσικῶν ἀποριῶν καὶ λύσεων κεφ. ϛ'. ἡμεῖς ὅμως οὐ τοῖς ἐκείνου λόγοις ἀρκούμενοι καὶ τοῦτο προστιθέμεθα τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς πάσχει πρώτως κατὰ τὸ εἶδος, εἶδος δὲ ὕδατος ἡ ψυχρότης, ὅθεν αὕτη πρώτως ἐξωθεῖται. ἢ ὅτι τὸ θερμὸν ἐγκαταμιγνύμενον τῷ ὕδατι οὐκ ἀποκρίνεται τὸ ὑγρὸν παχύτερον ὂν καὶ μονιμώτερον. Ἢ ὅτι τὸ ὕδωρ ψυχρῶν ἀναθυμιάσεων γέμει, αὗται δὲ πρώτως ἐξωθοῦνται τῇ τοῦ πυρὸς θερμότητι, καὶ ταῦτα μὲν ἅλις περὶ τῆς τῶν ποιοτήτων διανομῆς.

## ΚΕΦΑΛΑΙΟΝ, ΠΕΜΠΤΟΝ.

### Πότερον ἐν τοῖς στοιχείοις ἑκατέρα τῶν ποιοτήτων ἄκρως ὑπάρχει, ἢ οὔ;

Ἐπειδήπερ ἑκάστῳ τῶν στοιχείων μία προσήκει συζυγία τῶν ποιοτήτων ὡς ἀνωτέρω δέδεικται. Εἰκότως ἀμφισβητεῖται πότερον ἑκατέρα καθ' ὑπερβολὴν ἐνυπάρχει, ἢ οὔ; ὁ μὲν οὖν Φιλόσοφος δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς μορίῳ κγ'. οὐ μὴν φησιν, ἀλλ' ἁπλῶς γε

στέ-

τέτταρα ὄντα εἶδος ἕκαστόν ἐστι. γῆ μὲν γὰρ ξηροῦ μᾶλλον ἢ ψυχροῦ, πῦρ δὲ θερμοῦ μᾶλλον ἢ ξηροῦ, ὕδωρ δὲ ψυχροῦ μᾶλλον ἢ ὑγροῦ, ἀὴρ δὲ ὑγροῦ μᾶλλον ἢ θερμοῦ, καὶ ὁ λόγος τοῦτο αὐτὸ συμπείθειν ἔοικεν. ἐπειδὴ γὰρ θερμοῦ ποιητικός ἐστιν ὁ αἰθὴρ ἐξ ἀνάγκης μᾶλλον θερμὸν ἔσται τοῦ ἀέρος τὸ πῦρ. ἐγγύτερον γὰρ ὑπάρχει τοῖς οὐρανίοις σώμασι, τὸ δὲ ἐγγύτερον τοῦ ποιοῦντος τῆς ἐκείνου ἐνεργείας μᾶλλον μεταλαμβάνει τοῦ πόρρωθεν ὄντος. Ἔτι δὲ ἀδύνατόν ἐστι τὴν αὐτὴν ποιότητα σώμασι δυσὶ καθ' ὑπεροχὴν προσνέμεσθαι, ἀλλ' ἀεὶ τῷ μὲν πρώτως πρόσεστι, τῷ δὲ δι' ἐκεῖνο καὶ μετ' ἐκεῖνο. Ἔτι δὲ οἷς οἱ ὁρισμοὶ τῶν πραγμάτων πρώτως προσήκουσι, τούτοις καὶ τὰ πράγματα πρώτως προσήκει. Ἀλλὰ μὴν τῷ τοῦ πυρὸς θερμῷ μᾶλλον ὁ τοῦ θερμοῦ ὁρισμὸς προσαρμόζει, συγκριτικὸν γὰρ μᾶλλον τῶν ὁμογενῶν τὸ πῦρ τοῦ ἀέρος, ἄρα καὶ μᾶλλον θερμόν, ὥστε καὶ τὸ ἐν τῇ γῇ ξηρὸν μᾶλλον ἐστὶν εὐόριστον ὅρῳ οἰκείῳ, ἢ τὸ ἐν τῷ πυρί, ὥστε καὶ ἡ γῆ μᾶλλον ξηρὰ τοῦ πυρός. Πρὸς δὲ ταῦτα εἰ καὶ ἀμφοτέρας τὰς ποιότητας ἄκρας αὖ εἶχεν τῶν στοιχείων ἕκαστον, οὐχ οὕτως ἐπιτηδείως εἶχον τὰ στοιχεῖα πρὸς τὴν τῶν μικτῶν σύνθεσιν, ἑκάστου γὰρ ἄκρως ἰσχυροῦ ὄντος, καὶ σώζοντος ὡς ἐν τὴν οἰκείαν φύσιν, οὐκ ἂν ποτε ἐγγίγνετο ἡ μίξις, νῦν δὲ θατέρου τοῦ ἑτέρου ὑπερέχοντος ῥᾷον εἰς ἄλληλα αἱ τούτων ἐνέργειαι μεταδίδονται. οὐ μὴν, ἀλλὰ καὶ ἡ αἴσθησις συμμαρτύρεται μᾶλλον εἶναι θερμὸν τοῦ ἀέρος τὸ πῦρ, καὶ τοῦ ὕδατος μᾶλλον ὑγρὸν τὸν ἀέρα, καὶ τῆς γῆς τὸ ὕδωρ μᾶλλον ψυχρόν, καὶ τὴν γῆν τοῦ πυρὸς μᾶλλον ξηράν. καὶ τούτοις μὲν ὁ λόγος διϊσχυρίζεται ὁ συνιστῶν ἐν τοῖς στοιχείοις τῶν ποιοτήτων ἑτέραν μὲν ἐν ἀκρότητι καὶ ὑπεροχῇ προσοικειοῦσθαι, ἑτέραν δὲ ἐν ὑφέσει καὶ ἐλλείψει. Ὅμως πλείους εἰσὶ λόγοι ἐξ ἐναντίας ἀντιφερόμενοι. Πρῶτον μὲν γὰρ τοῖς ἁπλοῖς σώμασιν ἁπλαῖ προσήκουσι ποιότητες, αἱ δὲ ἁπλαῖ ἀμιγεῖς τε καὶ ἄκραι, καὶ γὰρ ἡ ἐν τοῖς ποιότησιν ὕφεσις ἔοικε γίγνεσθαι κατ' ἐπιμιξίαν τῶν ἄκρων. ὥστε ἐπειδὴ τοῖς στοιχείοις ἐνυπάρχουσιν αἱ ποιότητες εἰλικρινεῖς, καὶ καθαραὶ ἀδιστάκτως ὑπάρχουσιν ἐν ὑπερβολῇ. Δεύτερον τῶν πρώτων σωμάτων πρῶται εἰσὶν αἱ πρῶται ποιότητες, τὸ δὲ πρῶτον οὐδεμίαν ἔσχηκεν ὕφεσιν, τὸ μὲν ὑφειμένον οὐ πρώτως προσήκει, ἀλλὰ κατὰ μετοχήν. Τὸ δὲ μετέχον οὐ πρῶτον, ἐπειδὴ οὖν τὰ Τέσσαρα στοιχεῖα πρῶτα εἰσί, καὶ ἁπλᾶ καὶ ἀμιγῆ σώματα, καὶ οὐ κατὰ μετοχὴν συνιστάμενα, ἀλλ' ἀμιγῆ ὑπάρχουσι, καὶ εἰλικρινῆ κατὰ τὴν οἰκείαν φύσιν ἐξ ἀνάγκης τὰς πρώτας ποιότητας ἁπλῶς ἀπαιτεῖ καὶ πρώτας. Ἔτι δὲ τὰ στοιχεῖα ὡρισμένην ἔχουσι τὴν οἰκείαν φύσιν, τὸ δὲ ὡρισμένον ἄκρον εἶναι ὀφείλει, τὸ γὰρ μεταξὺ ἀδιόριστόν ἐστιν. Ἔτι δὲ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς ὁ Φιλόσοφος ἐν τοῖς στοιχείοις θατέ-

ρας

ΙΩΑΝΝΙΝΑ 2006

ρας τῶν ποιοτήτων κοινὴν ἐν τοῖς στοιχείοις τίθησιν, ὥστε μὴ μεταβάλλεσθαι ἐν τῇ ἐξ ἀλλήλων τούτων γενέσει, εἰ δὲ μὴ ἐν ἀμφοτέροις ὑπάρχει καθ' ὑπεροχὴν, ἔδει αὖ ἀμφοτέρας τὰς ποιότητας μεταβάλλειν, τὴν μὲν ὅλως γιγνομένην, τὴν δὲ τελειουμένην. Τελευταῖον ἐπειδὴ ἄκρως ἡ γῆ ξηρὰ λέγεται διὰ τὴν ἀπ' οὐρανῶν ἀποδιάστασιν, διὰ τοῦτο αὐτὸ καὶ ἄκρως ἔσται ψυχρά, ὁμοίως δὲ καὶ τὸ ὕδωρ ἐστὶ μὲν ἐν ὑπεροχῇ ψυχρὸν, φαίνεται δὲ καὶ ἄκρως ὑγρὸν, τὸ δὲ πῦρ ἐπειδὴ θερμὸν ἄκρως ἐξ ἀνάγκης καὶ ξηρὸν ἐν ὑπερβολῇ ἐστιν, ἡ γὰρ ἄκρα θερμότης πάντως μυσάττεται τὸ ὑγρὸν, καὶ ἀποβάλλει. πρόσθες ὃ λέγεται τοῦ Φιλοσόφου δευτέρῳ περὶ οὐρανοῦ μορίῳ λζ'., ἡ δ' ἀδυναμία φησὶ παρὰ φύσιν, τὸ δὲ παρὰ φύσιν οὐκ ἀΐδιον, ἡ δὲ ἔλλειψις ἀδυναμία ἐστὶν, ὥστε εἰ τὰ στοιχεῖα καθ' ἑτέραν ποιότητα ἀτελῆ εἰσι, καὶ ἐλλιπῆ ἀδύνατα εἰσὶν, καὶ οὐκ ἀΐδια. τούτων οὖν τῶν λόγων ἀλλήλοις μαχομένων πλείους φέρονται δόξαι. ἔνιοι μὲν γὰρ τῶν Ἀράβων, τῶν στοιχείων τὰ μὲν ἀμφοτέρας τὰς ποιότητας ἄκρας ἴσχειν, τὰ δὲ μὴ διϊσχυρίζονται. μάλιστα δὲ τὸ μὲν πῦρ ἄκρως εἶναι θερμὸν καὶ ξηρὸν βούλονται, τὴν δὲ γῆν ἄκρως ψυχρὰν μόνον, τὸν δὲ ἀέρα ἐν ὑφέσει θερμὸν καὶ ὑγρὸν, τὸ δὲ ὕδωρ γῆς μὲν ἧττον ψυχρὸν, ἀέρος δὲ μᾶλλον ὑγρὸν, μάρτυρα δὲ προβάλλονται τὸν Φιλόσοφον δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς μορίῳ κγ'. λέγοντα, καὶ ἄκρα μὲν καὶ εἰλικρινέστατα Πῦρ καὶ Γῆ, μέσα δὲ καὶ μεμιγμένα μᾶλλον Ὕδωρ καὶ Ἀήρ. λόγον δὲ τοιοῦτον τινὰ συγκλώθουσι, τὸ μὲν γὰρ πῦρ ἐγγυτάτω τῶν οὐρανῶν ὑπάρχον ἄκρως ἐστὶ θερμὸν, ἡ δὲ τῆς θερμότητος ὑπεροχὴ συνεφέλκεται τὴν κατὰ τὸ ξηρὸν ὑπερβολὴν, ἡ δὲ γῆ πάντως ἀφισαμένη τῶν οὐρανίων σωμάτων τὴν ἐναντίαν ἔχει ποιότητα, καὶ ἄκρως ἐστὶ ψυχρά, τοῦ δὲ ψυχροῦ οὐ πάντως ἐστὶν ἀπαίσιον τὸ ὑγρὸν, τὰ δὲ μεταξὺ τὴν μέσην ἔχοντα χώραν, ὥσπερ οὐκ εἰσὶν ἄκρα κατὰ ἀραίωσιν καὶ πύκνωσιν, οὕτως οὐδὲ κατὰ τὰς ποιότητας, ὥστε μέσα ἀληθῶς εἶναι κατά τε μανότητα καὶ πυκνότητα, καὶ βαρύτητα καὶ κουφότητα, καὶ τὰς ἄλλας ποιότητας. ἀλλ' οὗτοι λόγῳ βιασθέντες ἀπροσώπῳ τὴν ἀλήθειαν παρῃτήσαντο, καὶ διαῤῥήδην ἀντιμάχονται τῷ Φιλοσόφῳ. τὸ μὲν γὰρ ὕδωρ πρώτως φησὶ ψυχρὸν, τὸν δὲ ἀέρα πρώτως ὑγρόν. πρόσθες ὅτι εἰ μηδετέραν τῶν ποιοτήτων τὰ μεταξὺ τῶν στοιχείων ἄκραν ἔσχηκεν; οὐκ αὖ εὐλόγως ἁπλᾶ τὰ σώματα λέγοιντο, οὐδὲ πρῶτα, οὐδὲ ὅλως στοιχεῖα, ἕτεροι οὖν συμφωνοῦσι τῷ Φιλοσόφῳ κατὰ τὴν τῶν ποιοτήτων διανομὴν, τὴν μὲν ἄκρως ἑκάστῳ τῶν στοιχείων προσάπτοντες, τὴν δὲ ἐν ὑφέσει, διαφέρονται δὲ ὅτι κατ' ἐπιμιξίαν τοῦ ἐναντίου τὴν τοιαύτην ὕφεσιν γίγνεσθαι βούλονται, ἀλλ' οὗτοι διαφθείρουσι τὴν τῶν στοιχείων ἁπλότητα λεληθότως. κεκολασμένα γὰρ εἰσὶν κατ' ἑτέραν ποιότητα,

καὶ

Ε.Υ.Δ.Ε.Σ.Κ.Α.Π. ΙΩΑΝΝΙΝΑ 2006

καὶ οὐκ ἀμιγῆ κατὰ φύσιν αὐτῶν. Ἔτι δὲ οὐκ ἔδει δύω ποιότητας προσοικειοῦν ἑκάστῳ, ἀλλὰ τρεῖς κατ' ἐπιμιξίαν τῆς ἑτέρας ὑφειμένης. τινὲς δὲ ὧν καὶ Γαληνὸς προΐστασθαι τὰ στοιχεῖα ἐν τῇ οἰκείᾳ αὐτῶν καθαρότητι μένοντα ἀμφοτέρας τὰς ποιότητας καθ' ὑπερβολὴν ἔχειν ἀποφαίνονται, μάρτυρα προάγουσι τὸν Φιλόσοφον τὰς ἐκείνου ῥήσεις παρεξηγούμενοι. καίτοι μορίῳ κγ'. τοῦ δευτέρου περὶ γενέσεως καὶ φθορᾶς αὐτοῖς ῥήμασι τὴν ἐναντίαν δόξαν προβάλλεται, οὐ μὴν γάρ φησιν, ἀλλ' ἁπλῶς γε τέσσαρα ὄντα ἑνὸς ἕκαστόν ἐστιν. γῆ μὲν γὰρ ξηροῦ μᾶλλον, ἢ ψυχροῦ, καὶ τὰ ἑξῆς. διὸ δὴ μετάγε τοῦ ἀφροδισιέως Ἀλεξάνδρου ἐν τῷ περὶ Φυσικῶν ἀποριῶν καὶ λύσεων δευτέρῳ, κεφ. ιζ'., καὶ πρώτῳ μετεώρων ὑπομνήματι ιγ'., καὶ ἐν τῷ περὶ αἰσθήσεως καὶ αἰσθητοῦ ὑπομνήματι λ'., ᾧ καὶ ἀμμώνιος συνᾴδει ἐν τῇ κατηγορίᾳ τῆς οὐσίας, ἐν τοῖς στοιχείοις τῶν ποιοτήτων τὴν μὲν ἄκραν τιθέμεθα τὴν δὲ ὑφειμένην, καίτοι μὴ κατ' ἐπιμιξίαν τῆς ἐναντίας, ἀλλ' ἀμιγῆ τε καὶ ἁπλῆν, εἰ γὰρ αἱ δύω ποιότητες συμμιγεῖσαι ἀλλήλαις ἐν ἑκάστῳ τῶν στοιχείων ὑπάρχουσιν, οὐκ ἂν ἦσαν ἁπλᾶ σώματα, ἀλλὰ μεμιγμένα μᾶλλον καὶ κεκολασμένα, καὶ τρεῖς ἂν εἶχεν ἕκαστον τούτων ποιότητας. πρόσθες ὅτι ἡ ἑτέρα τῶν ποιοτήτων εἰδοποιός ἐστι καὶ τελειωτάτη, ἡ δὲ ἑτέρα παρεπομένη καὶ οἷον πάθος. πρὸς δὲ ταῦτα εἰ ἡ ἑτέρα τῶν ἐν τοῖς στοιχείοις ποιοτήτων ἐπιμέμικται τῇ ἐναντίᾳ εἶεν ἂν ἅπαντα τὰ στοιχεῖα σύμβολα ἀλλήλοις. Ἔτι δὲ οὐκ ὀρθῶς ἂν ὁ Φιλόσοφος ἐκ τῆς τῶν ποιοτήτων διανομῆς τὴν τετράδα τῶν στοιχείων συνήγαγε. Τριῶν γὰρ ἐνόντων ἑκάστῳ παθῶν πλείους ἂν ἐφαίνοντο τῶν τεττάρων συζυγίαι, πρὸς δὲ τοὺς ἀντικειμένους λόγους ἐκ τούτων ῥᾷον ἀπαντήσειεν αὐτίς, οὐ γὰρ ἀεὶ κατ' ἐπιμιξίαν αἱ ποιότητες ὕφεσιν λαμβάνουσιν ἀλλ' ἐν τοῖς μικτοῖς μόνον, ἐν δὲ τοῖς στοιχείοις τῇ τούτων φύσει ἡ τῆς ποιότητος ἐλάττωσις ἕπεται. Ἔτι δὲ οὐκ ἀμφότεραι αἱ ποιότητες ἐν ἑκάστῳ τῶν στοιχείων πρῶται ἁπλῶς εἰσιν, ἀλλ' ἡ μὲν ὡς εἰδοποιός, ἡ δὲ ὡς πάθος. Τρίτον δὲ ὅτι ἐν τῇ εἰς ἄλληλα τῶν συμβλητῶν στοιχείων μεταβολῇ θατέραν μόνον τῶν ποιοτήτων μεταβάλλεσθαι φησὶν ὁ Φιλόσοφος ὅτι ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον μεθίσταται. Τελευταῖον ὅτι ἀτελὴς μέν ἐστιν ἡ ἑτέρα τῶν ποιοτήτων καθ' ἑαυτήν, ἅτε δὴ ἐν ὑφέσει οὖσα, τελεία δὲ πρός γε τὴν τοῦ στοιχείου φύσιν ταύτην οὕτως ἀπαιτοῦσαν, καὶ ταῦτα μὲν ἅλις περὶ τῆς τῶν ποιοτήτων διανομῆς.



ΙΩΑΝΝΙΝΑ 2006